# 25 NOIEMBRIE

# EGKOMIA SF.MARI MUCENIȚE ECATERINA DE LA ALEXANDRIA

# EGKOMIER-GR


ΑΙΚΑΤΕ
ΡΙ
ΝΑ



# ΕΓΚΩΜΙΑ

## ΕΙΣ ΤΗΝ ΠΑΝΕΥΦΗΜΟΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΝΥΜΦΗΝ ΑΙΚΑΤΕΡΙΝΑΝ ΤΗΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ

Ὁ Κανὼν φέρει τήνδε τὴν ἀκροστιχίδα·
«Χαῖρε, Μάρτυς Αἰκατερῖνα, Χριστοῦ πάγκαλε νύμφη,
ἡ τὸ Σίναιον ἁγιάζουσα. Χ.»

### ΣΤΑΣΙΣ Α΄

Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.

Μακαρίζομέν σε
μελιρρύτοις ᾠδαῖς,
θεαυγὲς Αἰκατερῖνα, πανεύφημε,
νύμφη πάγκαλε Νυμφίου Ἰησοῦ.

Μακαρίζομέν σε,
τοῦ Σιναίου φρουρὸν
καὶ προστάτιν πανσθενῆ καὶ ἐπίκουρον,
θαυμαστὴ Αἰκατερῖνα, ἐν δεινοῖς.

Καὶ τὰ ἑπόμενα φέροντα Ἀκροστιχίδα·
«Χαῖρε, Μάρτυς Αἰκατερῖνα»

Χαῖρε, κέρας θεῖον
γυναικῶν εὐσταλῶν
καὶ σοφῶν, Αἰκατερῖνα, προτύπωμα,
ἀθληφόρων τὸν Χριστὸν δοξασασῶν.

www.tezaurliturgic.ro

Ἄστρον ὡς πυρφόρον,
καλλιμάρτυς Χριστοῦ,
ἐκ τῆς γῆς Ἀλεξανδρείας ἀνέτειλας
πρὸς πιστῶν, Αἰκατερῖνα, φωτισμόν.

Ἰαμάτων ῥεῖθρα
ἀναβλύζεις ἀεὶ
τοῖς πιστῶς προσερχομένοις σῇ χάριτι,
ὡς κρουνός, Αἰκατερῖνα, ζωτικός.

Ῥαθυμίας λῦσον
τὴν ὁμίχλην ἡμῶν
ἐγρηγόρσεως αὐγὴν ἀνατέλλουσα
σοῖς πιστοῖς, Αἰκατερῖνα, ὑμνηταῖς.

Ἐν σταδίῳ, Μάρτυς,
κόσμου τούτου σοφοὺς
τῇ ἐνστάσει σου ἀσόφους κατέδειξας,
καλλονή, Αἰκατερῖνα, γυναικῶν.

Μάρτυς, ὡς ἁγνείας
λαμπηδὼν καὶ εἰκὼν
παρθενίας, νύμφη ὤφθης πανεύφημος
καὶ σεμνή, Αἰκατερῖνα, τοῦ Χριστοῦ.

Ἀθληφόρων γέρας,
ὡς λαμπρὰν κιβωτὸν
μαρτυρίου σε κατέγνωμεν, ἄσυλε
τοῦ Σινᾶ, Αἰκατερῖνα, θησαυρέ.

Ῥῶσιν νέμεις πᾶσιν
ἀσθενοῦσι ταχὺ
καὶ ὑγίειαν κατ᾽ ἄμφω τοῖς σπεύδουσι
προσκυνῆσαι σὴν πανίερον μορφήν.

Τοῦ Σινᾶ προστάτις
τῆς ἐνδόξου Μονῆς
καὶ ἀκέστωρ καὶ φρουρὸς πέλεις ἄγρυπνος,
χαρμονή, Αἰκατερῖνα, μοναστῶν.

Ὕμνοις καθ' ἑκάστην
στέφομέν σε φαιδροῖς,
τὸν βλαστὸν Ἀλεξανδρείας ἡδύναντα
ἄθλων μύροις Ἐκκλησίαν τοῦ Χριστοῦ.

Σῶσον ἐν ταῖς μάχαις
κατ' ἐχθρῶν νοητῶν
τοὺς προσφεύγοντας τῇ θείᾳ σου χάριτι
καὶ θερμῇ, Αἰκατερῖνα, ἀρωγῇ.

Ἀπειράστους πάντας
τῶν βελῶν τοῦ ἐχθροῦ
τήρει πρόσφυγας τῆς θείας σου χάριτος
τοὺς σεμνούς, Αἰκατερῖνα γεραρά.

Ἴθυνόν με, Μάρτυς,
πρὸς νομὰς οὐρανῶν
καὶ ἀγήρω βιοτήν, ὑπερθαύμαστε,
σαῖς εὐχαῖς, Αἰκατερῖνα, πρὸς Χριστόν.

Κλῆσίν σου τὴν θείαν
τοὺς φωνοῦντας πιστῶς
σκέπε, φρούρει καὶ διάσῳζε τάχιστα
ἐκ δεινῶν, Αἰκατερῖνα, ἀλγεινῶν.

Ἀθληφόρε Μάρτυς,
τῷ Νυμφίῳ Χριστῷ
ἐκ νεότητος νενύμφευσαι ὅλῃ σου
ἀληθῶς, Αἰκατερῖνα, τῇ ψυχῇ.

Τοῦ Σιναίου ὄρους
ὑψηλὴν κορυφὴν
πρὸς ἀνάπαυσιν ἐπέλεξας σκήνους σου
τοῦ σεπτοῦ, Αἰκατερῖνα, φῶς Χριστοῦ.

Εὐλογίας χάριν
τεῖνον χεῖρα τὴν σήν,
ἣν κατέχει θησαυρὸν ὡς ἀσύλητον
τοῦ Σινᾶ, Αἰκατερῖνα, ἡ Μονή.

Ῥεῖθρα ἀναβλύζει
ἰαμάτων πολλῶν
ἡ σορὸς τῶν πανιέρων λειψάνων σου
ὡς κρουνός, Αἰκατερῖνα, ἱερός.

Ἴδε τοὺς τιμῶντας
οὐρανόθεν λαμπρῶς
τὴν σὴν μνήμην, τὴν φαιδρὰν καὶ πανέορτον
ἐν ᾠδαῖς, Αἰκατερῖνα, μελιχραῖς.

Δόξα. Τριαδικόν.

Νῦν σε δυσωποῦμεν·
Παναγία Τριάς,
τῆς σεμνῆς Αἰκατερίνης ἐντεύξεσι
ῥῦσαι πάντας Σοὺς οἰκέτας πειρασμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀπὸ πάσης βλάβης
τοῦ ἐχθίστου ἡμᾶς,
Θεοτόκε ἀγαθή, ἀπολύτρωσαι
θαυμασίων ἀνυμνοῦντας σοῦ πληθύν.

Καὶ αὖθις τὸ πρῶτον·

Μακαρίζομέν σε
μελιρρύτοις ᾠδαῖς,
θεαυγὲς Αἰκατερῖνα, πανεύφημε,
νύμφη πάγκαλε Νυμφίου Ἰησοῦ.

## CTACIC B΄

Ἦχος πλ. α΄. Ἄξιόν ἐστι.

Ἄξιόν ἐστι
μακαρίζειν σε, τὴν ἀθληφόρον,
πόνους τοῦ τροχοῦ ὑπομείνασαν
ἀκλινῶς, Αἰκατερῖνα εὐσταλές.

Ἄξιόν ἐστι
μακαρίζειν σε, σοφοὺς ἀσόφους
δείξασαν ἐνστάσει ἁγίᾳ σου
θαυμαστῶς, Αἰκατερῖνα εὐκλεές.

Καὶ τὰ ἑπόμενα φέροντα Ἀκροστιχίδα·
«Χριστοῦ πάγκαλε νύμφη»

Χαίροις, γυναικῶν
ἀθληφόρων, καλλιμάρτυς, κλέος
καὶ Ὑψίστου νύμφη περίδοξε
καὶ σεμνή, Αἰκατερῖνα θεαυγές.

Ῥεῖθρα δαψιλῶς
τῶν λειψάνων ἀναβλύζει θήκη
σοῦ, Αἰκατερῖνα, ἡ πάνσεπτος
ἰαμάτων τῶν σωμάτων καὶ ψυχῶν.

Ἵλεων ἡμῖν
τὸν Νυμφίον σου, Αἰκατερῖνα,
τὸν ὡραῖον κάλλει ἀπέργασαι
παρὰ πάντας, ἀθληφόρε, τοὺς βροτούς.

www.tezaurliturgic.ro

Σίναιον ᾠδαῖς
καταστέφει σε ἀεὶ ἀξίως,
ὅτι ἐποπτεύεις ἑκάστοτε
τὴν Μονήν, Αἰκατερῖνα, τὴν αὐτοῦ.

Τρώσασα ἐχθροῦ
τὴν ὀφρὺν σοῖς θεοσόφοις λόγοις
τῷ Παμβασιλεῖ εὐηρέστησας
καὶ Χριστῷ, Αἰκατερῖνα, Ἰησοῦ.

Ὁ τῶν ἐν ὀπαῖς
καὶ σπηλαίοις τοῦ Σιναίου ὄρους
δῆμος μονοτρόπων γεραίρει σε
ἀκλινῶς, Αἰκατερῖνα, ἐν ᾠδαῖς.

Ὕλην ὡς σαθρὰν
ἐλογίσω τὰ τερπνὰ τοῦ κόσμου,
ἥνπερ τῶν αἱμάτων σου ἔκαυσας
ὀχετῶν, Αἰκατερῖνα, τῇ φλογί.

Παῦσον τὰς ὁρμὰς
τῶν παθῶν, Αἰκατερῖνα Μάρτυς,
τῶν μακαριζόντων σε πάντοτε
καὶ ζητούντων σὴν ταχεῖαν ἀρωγήν.

Ἄξιόν ἐστι
μακαρίζειν σε, Αἰκατερῖνα,
τοῦ Χριστοῦ τὴν νύμφην τὴν πάγκαλον,
ἐν σταδίῳ ἀριστεύσασαν σοφῶς.

Γνῶσιν θεϊκὴν
θησαυρίζουσα σοφίαν κόσμου
ἐβδελύξω καὶ πάντας ᾔσχυνας
τοὺς σοφούς, Αἰκατερῖνα, τῶν ἐθνῶν.

Καύχημα σεπτὸν
Ὀρθοδόξου πέλεις Ἐκκλησίας,
τῆς Ἀλεξανδρείας ἐκβλάστημα
καὶ Σινᾶ, Αἰκατερῖνα, θησαυρέ.

Ἄκουσον ἡμῶν
δεομένων σου, Αἰκατερῖνα,
καὶ παθῶν ὁμίχλην διάλυσον
χαμαιζήλων σῶν ἐνθέρμων ἱκετῶν.

Λύπης ζοφερὸν
διασκέδασον, Αἰκατερῖνα,
νέφος τῷ φωτὶ πρὸς Νυμφίον σου,
Φωτοδότην Ἰησοῦν, ἱκεσιῶν.

Ἔχει οὐρανὸς
τὸ σὸν πνεῦμα καὶ Σινᾶ τὸ ὄρος
σόν, Αἰκατερῖνα πανεύφημε,
σῶμα βλῦζον ἰαμάτων ποταμούς.

Νύκτα τῶν παθῶν
καὶ κακότητος, Αἰκατερῖνα,
σοῦ τῶν ἱκετῶν ἀποδίωξον
ἀστραπαῖς ἀδιαλείπτων σου εὐχῶν.

Ὕπνον μή μοι δὸς
ἀπογνώσεως, Αἰκατερῖνα,
ἀλλ᾽ ἐν ἐγρηγόρσει συντήρει με
ἐπιγνώσεως Θεοῦ τῶν ἐντολῶν.

Μάρτυς γεραρά,
παῤῥησίᾳ τοῦ Χριστοῦ τὴν κλῆσιν
τὴν σεπτὴν τρανῶς ὡμολόγησας
πρὸ ἐχθρῶν, Αἰκατερῖνα, δυσσεβῶν.

Δόξα. Τριαδικόν.

Φ ώτισον ἡμῶν
τὴν σκοτόμαιναν τῆς ἀγνωσίας,
Πάτερ σὺν Υἱῷ καὶ τῷ Πνεύματι
τῷ ἁγίῳ, φέγγει γνώσεως τῆς Σῆς.

Καὶ νῦν. Θεοτοκίον.

Η τῶν εὐσεβῶν,
Θεοτόκε, ἀρωγὸς καὶ σκέπη,
τῆς Αἰκατερίνης δεήσεσι
ῥῦσαι πάντας χαμαιζήλων ἡδονῶν.

Καὶ αὖθις τὸ πρῶτον·

Ἄ ξιόν ἐστι
μακαρίζειν σε, τὴν ἀθληφόρον,
πόνους τοῦ τροχοῦ ὑπομείνασαν
ἀκλινῶς, Αἰκατερῖνα εὐσταλές.

## CTACIC Γ'

Ἦχος γ'. Αἱ γενεαὶ πᾶσαι.

Α ἱ γενεαὶ πᾶσαι
σὲ ὑμνολογοῦμεν,
σοφὴ Αἰκατερῖνα.

Α ἱ γενεαὶ πᾶσαι
σὲ ὡς φῶς τιμῶμεν
Σινᾶ, Αἰκατερῖνα.

Καὶ τὰ ἑπόμενα φέροντα ἀκροστιχίδα·
«Ἡ τὸ Σίναιον ἁγιάζουσα»

Ἡ νύμφη τοῦ Ὑψίστου,
Αἰκατερῖνα, ῥῦσαι
δεινῶν τοὺς σοὺς ἱκέτας.

Ταμεῖον προστασίας
ἀσύλητον ὑπάρχεις
πιστῶν, Αἰκατερῖνα.

Ὅλη ψυχῆς ἐφέσει
ἠγάπησας Νυμφίον,
Χριστόν, Αἰκατερῖνα.

Σιναίου ἀντιλήπτωρ
καὶ παρακλήτωρ πέλεις
θερμή, Αἰκατερῖνα.

Ἰλέωσαι τὸν Κτίστην
ἡμῖν σε ἀνυμνοῦσι
λαμπρῶς, Αἰκατερῖνα.

Ναὸς τοῦ Παρακλήτου
πανευπρεπὴς ἐδείχθης,
κλεινὴ Αἰκατερῖνα.

Ἀδύτου φέγγους ἄστρον,
τὸ Σίναιον φωτίζεις
φαιδρῶς, Αἰκατερῖνα.

Ἰάματα ἐκχέεις
ὡς βρύσις πολυχεύμων
πιστοῖς, Αἰκατερῖνα.

Ὁ ἔρως ἔθελξέ σε
Χριστοῦ, Αἰκατερῖνα,
νεότητος ἐν ὥρᾳ.

Νοῦν ἔπηξας σὸν θεῖον
ἐπὶ Χριστοῦ ἀγάπης,
Αἰκατερῖνα, πέτραν.

Αἱμάτων σου ῥανίσιν
ἀπέπνιξας τοὺς πλάνους
ἐχθρούς, Αἰκατερῖνα.

Γηθόμενοί σοι, χαῖρε,
πιστῶς ἀναβοῶμεν,
σεμνὴ Αἰκατερῖνα.

Ἰθύντειρα πρὸς πόλον,
Αἰκατερῖνα, πέλεις
τῶν σὲ ὑμνολογούντων.

Ἀλεξανδρείας γόνε,
Αἰκατερῖνα, ῥύου
ἡμᾶς ἀνάγκης πάσης.

Ζοφώδη ἐμπαθείας
ἀχλύν, Αἰκατερῖνα,
ἡμῶν ταχέως λῦσον.

Ὅλῃ μου διανοίᾳ
καὶ χείλεσι τιμῶ σε
φαιδρῶς, Αἰκατερῖνα.

Ὑπὲρ τῶν ἱκετῶν σου
μὴ παύσῃ δυσωποῦσα,
Χριστόν, Αἰκατερῖνα.

Σωμάτων καὶ ψυχῶν τε
ὑγίειαν παράσχου
ἡμῖν, Αἰκατερῖνα.

Δόξα. Τριαδικόν.

Ἀΐδιε Θεότης,
Τριὰς ἡ ἐν μονάδι,
ἐλέησον τὸν κόσμον.

Καὶ νῦν. Θεοτοκίον.

Χαρίτωσον τοὺς πίστει
σὲ ἀνυμνολογοῦντας
ἀπαύστως, Θεοτόκε.

Καὶ αὖθις τὸ πρῶτον·

Αἱ γενεαὶ πᾶσαι
σὲ ὑμνολογοῦμεν,
σοφὴ Αἰκατερῖνα.

## ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Αἰκατερῖναν μέλψαι.

Τῶν Ἀγγέλων ὁ δῆμος
κατεπλάγη ὁρῶν σου
τῆς σοφίας τὸν πλοῦτον
καὶ ἀνδρείαν σῆς ψυχῆς,
ἣν ἐπέδειξας, Μάρτυς,
πρὸ σοφῶν τῆς γῆς,
οὓς σαφῶς κατῄσχυνας
σοῖς, Αἰκατερῖνα,
ἐνθέοις ῥήμασι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Αἰκατερῖναν μέλψαι.

Μύρα βλύζει
θαυμαστῶς ἡ θήκη σου
τῶν λειψάνων, Μάρτυς ἀθληφόρε,
καὶ παρέχει ῥῶσιν πᾶσιν ἄφθονον
τοῖς κραυγάζουσιν· Αἰκατερῖνα,
νύμφη Ἰησοῦ,
τοῦ Χριστοῦ, πανεύφημε,
δίδου πᾶσι
κατ᾽ ἄμφω ὑγίειαν.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Αἰκατερῖναν μέλψαι.

Λίαν πιστῶς
σπεύδομεν ἀσπάσασθαι
τὴν πανίερον, Αἰκατερῖνα,
τῶν λειψάνων σου σορὸν
ἐν ὄρει τῷ Σιναίῳ
καὶ ἐν ψυχικῇ
κατανύξει κράζομεν·
Χαῖρε, Μάρτυς,
πιστῶν ἡ ἀντίληψις.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με Αἰκατερῖναν μέλψαι.

Μυροφόρων τὸ χρέος
ἐκτελοῦντες σὴν μνήμην
ὕμνοις ῥαίνομεν νῦν, Αἰκατερῖνα,
καὶ βοῶμεν θερμῶς·
Ἀγνωσίας τὸν ζόφον
σκέδασον ἡμῶν
φέγγει σῶν δεήσεων

καὶ σοφίας
ἡμᾶς θείας ἔμπλησον.

Δόξα. Τριαδικόν.

Προσκυνοῦμεν ἐκ πόθου
τὴν ἁγίαν Τριάδα,
τὸν Πατέρα, τὸν Λόγον
καὶ τὸ Ἅγιον Πνεῦμα
εὐθαρσῶς ἐκβοῶντες·
Δεῖξον ἀτραπὸν
ἡμῖν τὴν σωτήριον
καὶ πρὸς δόξαν
Σὴν ἅπαντας ἴθυνον.

Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην ἐν μήτρα
σῇ ἁγνῇ συλλαβοῦσαν
ὑπὲρ λόγον, Παρθένε,
ὡς πυράφλεκτον Βάτον
Μωϋσῆς σε κατεῖδεν
ἐν Σινᾷ, σεμνὴ
Παρθένε, τῶν δούλων σου
οἷα χόρτον πάθη
ἀεὶ ἡ καίουσα.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα Σοι, ὁ Θεός. (ἐκ γ´)

Δίστιχον.

Χαῖρε, Αἰκατερῖνα, Σιναίου κλέος,
σὺν Γεωργίῳ ἔκραξε Χαραλάμπης.